ἰωνικὸν εἶδος / ionica forma

[Hephaest.] 45 (p. 100 zur Jacobsmühlen) εἴδη μέτρου η′ ... ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάττονος.

[Draco] *de metris* 125. 14 sqq. περὶ εἴδους. εἶδος μέτρου ἐστὶ μετρικὴ ποιότης, καθ᾽ ἣν εἰς τὸ αὐτὸ τυγχάνει οἷον τὸ τροχαικὸν ἀναπαιστικόν. εἴδη δὲ μέτρου ἐννέα, τροχαικόν, ἰαμβικόν, δακτυλικόν, ἀναπαιστικόν, χοριαμβικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, ἀντισπαστικὸν καὶ παιωνικόν.

App. Dion. 314. 17 sqq. εἴδη μέτρων ἐστὶν ἐννέα· ἰαμβικόν, τροχαικόν, δακτυλικόν, ἀναπαιστικόν, χοριαμβικόν, ἀντισπαστικόν, τὸ ἀπὸ μείζονος ἰωνικόν, τὸ ἀπ᾽ ἐλάσσονος ἰωνικὸν καὶ παιωνικόν.

Schol. B in Hephaest. 257. 13 sqq. εἴδη τῆς ἑξασήμου τετραδικῆς (*scil.* ἐπιπλοκῆς) τέσσαρα, ἰωνικὸν τὸ ἀπὸ μείζονος, χοριαμβικόν, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, ἀντισπαστικόν ... 260. 24 sqq. ἡ δὲ τρίτη ἐπιπλοκὴ καλεῖται μὲν τετραδική, ἐπειδὴ τέσσαρα ἐξ αὐτῆς εἴδη ἐπιπλέκεται, ἀντισπαστικὸν χοριαμβικὸν ἰωνικὰ δύο, ἑξάσημος δέ, ἐπειδὴ ἕκαστος τούτων ἑξάχρονός ἐστιν. - ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον· τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος·

βλαστεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον· ἀφαιρῶ αὐτοῦ τὴν πρώτην συλλαβήν, τὸ καταλειπόμενον γίνεται χοριαμβικόν·

στεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν δευτέραν, τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ᾽ ἐλάσσονος·

ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν τρίτην, τὸ καταλειπόμενόν ἐστιν ἀντισπαστικόν·

πὶ γῆς δένδρεα παντοῖα φύοντα.

εἰ δὲ καὶ τὴν τετάρτην ἀφέλῃς, εἰς τὸ ἀρχαῖον ἀναδραμεῖ τὸ ἀπὸ μείζονος·

γῆς δένδρεα παντοῖα φύοντα.

οὐ μόνον δὲ ἐν ταῖς προειρημέναις ἀφαιρέσεσιν, ἀλλὰ καὶ ἐν προσθέσεσιν αἱ προειρημέναι σώζονται ἐπιπλοκαί, τὸ <δὲ> χαρίεν τῆς παρατηρήσεώς ἐστι τοιοῦτον· ἐν μὲν ταῖς ἀφαιρέσεσι μετὰ τὸ ἰωνικὸν γίνεται <τὸ> χοριαμβικόν, εἶτα <τὸ> ἀπ᾽ ἐλάσσονος, εἶτα <τὸ> ἀντισπαστικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος· ἐν δὲ ταῖς προσθέσεσι τὸ ἀντισπαστικόν, εἶτα τὸ ἀπ᾽ ἐλάσσονος, εἶτα τὸ χοριαμβικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος.

Diom. GL I 501. 16 sqq. formae principalium metrorum secundum antiquitatis rationem generalissimae duae sunt inventae, dactylica et iambica. his etiam, ut aliorum probat auctoritas, accedunt aliae septem hae, trochaica, anapaestica, antispastica, choriambica, duae ionicae, paeonica, quam plerique rythmicam esse dixerunt. [*P.S.*]